UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XXX. De Bardesane Syro & de libris ejus qui supersunt.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

ἐπιδιορθούμενον αὐτῶν τὴν τῆς φράσεως σύνταξιν. καταλέλοιπε δὲ οὗτος πολύ τι πλῆθος συγγραμμάτων. ὧν μάλιστα παρὰ πολλοῖς μνημονεύεται διαβόητος αὐτοῦ λόγος, ὁ πρὸς Ἕλληνας· ἐν ᾧ καὶ τῶν ἀνέκαθεν χρόνων μνημονεύσας, τῶν παρ' Ἕλλησιν εὐδοκίμων ἁπάντων προγενέστερον Μωυσέα τε καὶ τοὺς Ἑβραίων προφήτας ἀπέφηνεν· ὃς δὴ καὶ δοκεῖ τῶν συγγραμμάτων ἁπάντων αὐτοῦ κάλλιστός τε καὶ ὠφελιμώτατος ὑπάρχειν. καὶ τὰ μὲν κατὰ τοῦτον, τοιαῦτα ἦν.

A dicta Pauli Apostoli elegantioribus verbis exprimere, utpote qui compositionem verborum illius corrigere studeret. Maximum certè librorum numerum ab eo relictū esse cōstat. Ex quibus præcipuè multorū testimonio laudatur insignis ille adversus Gentiles liber: in quo repetitis prioris ævi temporibus, Mosem & ceteros Hebræorum Prophetas, omnibus qui apud Græcos celeberrimi extiterunt, vetustiores fuisse convincit. Qui quidem liber, omnium quos ille scripsit, elegantissimus simul atque utilissimus videtur. Sed de
B his hactenus.

## ΚΕΦΑΛΑΙΟΝ Λ'.

Περὶ Βαρδησάνου τοῦ Σύρου, καὶ τῶν φερομένων αὐτοῦ λόγων.

Ἐπὶ δὲ τῆς αὐτῆς βασιλείας πληθυουσῶν τῶν αἱρέσεων ἐπὶ τῆς μέσης τῶν ποταμῶν, Βαρδησάνης ἱκανώτατός τις ἀνήρ, ἔν τε τῇ Σύρων φωνῇ διαλεκτικώτατος, πρὸς τοὺς κατὰ Μαρκίωνα καί τινας ἑτέρους διαφόρων προϊσταμένους δογμάτων, διαλόγους συστησάμενος, τῇ οἰκείᾳ παρέδωκε γλώττῃ τε καὶ γραφῇ, μετὰ καὶ πλείστων ἑτέρων αὐτοῦ συγγραμμάτων· οὓς οἱ γνώριμοι (πλεῖστοι δὲ ἦσαν αὐτῷ δυνατῶς τῷ λόγῳ παρισταμένῳ) ἐπὶ τὴν Ἑλλήνων ἀπὸ τῆς Σύρων μεταβεβλήκασι φωνῆς. ἐν οἷς ἐστι καὶ ὁ πρὸς Ἀντωνῖνον ἱκανώτατος αὐτοῦ περὶ εἱμαρμένης διάλογος. ὅσα τε ἄλλα φασὶν αὐτὸν προφάσει τοῦ τότε διωγμοῦ συγγράψαι. ἦν δ' ἄρα οὗτος πρότερον, τῆς κατὰ Οὐαλεντῖνον σχολῆς· καταγνοὺς δὲ ταύτης, πλεῖστά τε τῆς κατὰ τοῦτον μυθοποιΐας ἀπελέγξας, ἐδόκει μέν πως αὐτὸς ἑαυτῷ ἐπὶ τὴν ὀρθοτέραν γνώμην μετατεθεῖσθαι· οὐ μήν γε παντελῶς ἀπερρύψατο τὸν τῆς παλαιᾶς αἱρέσεως ῥύπον. ἐν τούτῳ γε μὴν καὶ ὁ τῆς Ῥωμαίων ἐκκλησίας Ἐπίσκοπος Σωτὴρ τελευτᾷ.

Τοῦ τῆς ἐκκλησιαστικῆς ἱστορίας λόγου τετάρτου τέλος.

## CAPUT XXX.

*De Bardesane Syro & de libris ejus qui supersunt.*

Porrò ejusdem Imperatoris temporibus, cùm hæreses numero quamplurimæ extitissent in Mesopotamia, Bardesanes quidam vir disertissimus Syriaco sermone, & acerrimus in disputando, adversus Marcionem aliosque variarum opinionum auctores atq; assertores, patria lingua dialogos conscripsit unà cum infinitis aliis opusculis. Quos quidem discipuli illius (habuit enim ille quamplurimos auditores, ut-
C potè qui fidem nostram fortiter assereret) ex Syriaco sermone in Græcum transtulerunt. In his est dialogus de fato ad Antoninum scriptus, sanè luculentissimus. Sed & alia multa ex occasione persecutionis quæ tunc temporis in nostros grassata est, scripsisse dicitur. Atque hic primùm quidem sectator fuit Valentini: postea verò cùm doctrinam illam improbavisset, & pleraque ejus dogmata fictas esse fabulas convicisset, ipse quidem sibi visus est ad rectiorem sententiam transivisse: vetusti tamen atque inoliti erroris sordes
D non penitus extersit. Per id etiam tempus ecclesiæ Romanæ Episcopus Soter vivendi finem fecit.

Huc refer Niceph. c. 11. l. 4.

*Finis Libri quarti Historiæ Ecclesiasticæ.*

UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN